Διόγμες ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος;
Ες Ἀΐδος ἔλαβέ με κυνὸς ἄγριον ὀδ' ἀξ.

οἱ δὲ ἑξῆς στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα. ὧν ὁ τελευταῖος,

Κ' οὐκ ἔστιν ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.

Οὐκ ἐτὸς.] οὐ μάτην. αἰγυπτιάζειν δὲ, τὸ πανουργεῖν, καὶ κακοτροπεύεσθαι. τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. Σ. ἀλλ' ἴσως οὕτω ταῦτα βέλτιον ληφθείη. Οὐ μάτην οὖν πανούργως ἐν ὑμῖν ταῦτα περὶ τῆς Αἰγύπτου πρότερον εἴπατε. Νείλου μὲν αἵδε, καὶ, Αἴγυπτον. καὶ τὰ ἑξῆς. τίνες δ' ἦσαν οἱ B

A Πρυτάνεις, καὶ τίνες οἱ τοξόται ἤδη προείρηται. δρῶ δὴ δράσω. Μέν' ἥσυχος] Εὐριπίδης αἰσθόμενος τὴν τοῦ Πρυτάνεως πάροδον ἀποχωρεῖ, τὸν Μνησίλοχον θαρσύνων, καὶ αὐτῷ μεγάλην ἐλπίδα τῆς αὐτοῦ προστασίας, καὶ βοηθείας παρέχων. καὶ οὐ πρὶν αὐτὸν καταλείψειν λέγει, ἢ αὐτὸν ὑπὸ τῶν δόλων, καὶ τεχνῶν συνήθων καταληφθῆναι. Αὕτη μὲν ἡ μήρινθος] τοῦτο λέγεται ἐπὶ τῶν ἐπιχειρούντων, καὶ ἀποτυγχανόντων ἀντὶ τοῦ, αὕτη ἡ μηχανὴ οὐδὲν ἤνυσεν. ἐκ μεταφορᾶς τῶν σχοίνοις θηρευόντων, ἢ ἁλιευόντων. μήρινθος δὲ, σπάρτος, ἤτοι σχοινίον, δεσμὸς, βρόχος. Σ. Εὐς.

ΠΡΥΤΑΝΗΣ, ΜΝΗΣΙΛΟΧΟΣ.

Πρ. Ὅδ' ἔσθ' ὁ πανοῦργος. ὃν ἔλεγεν ἡμῖν Κλεισθένης. C
Οὗτος. τί κύπτεις; δῆσον αὐτὸν εἰσάγων.
Ὦ τοξότ' ἐν τῇ σανίδι κᾆπειτ' ἐνθαδὶ
Στήσας φύλαττε. καὶ προσιέναι μηδένα
Ἔα πρὸς αὐτόν. ἀλλὰ τὴν μάστιγ' ἔχων
Παῖ' ἢν προσίῃ τις. Γυν. νὴ Δί' ὡς νῦν δή τ' ἀνήρ.
Ὀλίγου μ' ἀφείλετ' αὐτὸν, ἱστιορράφος.
D Μν. Ὦ Πρύτανι. πρὸς τῆς δεξιᾶς ἥνπερ φιλεῖς
Κοίλην προτείνειν ἀργύριον ἤν τις διδῷ,
Χάρισαι βραχύ τί μοι καίπερ ἀποθανουμένῳ.
Πρ. Τί σοι χαρίσωμαι. Μν. Γυμνὸν ἀποδύσαντά με
Κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην.
E Ἵνα μὴ 'ν κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ
Γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.
Πρ. Ἔχοντα ταῦτ' ἔδοξεν τῇ βουλῇ σε δεῖν,
Ἵνα τοῖς παροῦσι δῆλος ᾖς πανοῦργος ὤν.
Μν. Ἰαππαπαιάξ. ὦ κροκῶθ' οἷ' εἴργασαι.
Κοὐκ ἔστιν ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.

PRYTANIS, MNESILOCHVS.

PR. *Hic est maleficus, quem dicebat nobis Clisthenes.*
*Heus tu quid fugitas? liga ipsum introducens*
*O lictor in assere, & deinde hic*
*Constituens custodi, & accedere neminem*
*Sine ad ipsum: sed flagellam habens*
*Feri, si accesserit aliquis. MVL. Per Iouem recte facis, quoniam nunc certe vir*
*Fere mihi abstulit ipsum,*
*Vela & fraudes suens.*
*MN. O Prytani per dexteram, quam quidem soles*
*Concauam porrigere , pecuniam si quis dederit,*
*Gratificare, & concede paruam quandam rem mihi quanquam morituro.*
*PRY. Quid tibi gratificabor? MN. Nudum exuentem me*
*Iube ad tabulam vincire satellitem,*
*Vt ne crocotulis & mitris senex vir*
*Risum præbeam, coruis conuiuium exhibens.*
*PRY. Habentem hæc visum est Senatui te ligare,*
*Vt præsentibus manifestus sis maleficus existens.*
*MN. Papæ ô Crocotula, qualia fecisti?*
*Et non est amplius spes vlla salutis.*

F

BOVRDINVS. Πρύτανις.] ὁ Πρύτανις πάρεστι δίκην ληψόμενος τῆς ἀδικίας τοῦ Μνησιλόχου. Ἔλεγεν.] ἀνήγγειλεν. Κύπτεις.] ἀνακύπτεις, ἵνα μή τις σε ἐπίδοι. Ἐν σανίδι] ἐν θύρᾳ. σανίδες γὰρ θύραι λέγονται. καὶ σανὶς παρ' Ἀθηναίοις ἐκαλεῖτο λεύκωμα, ἐν ᾧ αἱ γραφαὶ Ἀθήνησιν ἐγράφοντο πρὸς τοὺς κακούργους. ἵσταντο δὲ καὶ ἐπὶ τοῦ ταύρου. Φύλαττε] φύλαξον, μὴ προσίῃ μηδείς. Πρὸς αὐτὸν] χ' ἵνα μὴ ἐξέλθῃ. Μάστιγ' ἔχων] μαστιγοφορῶν. Ἱστιορράφος] ὁ πανοῦργος. μεταφορὰ δὲ ἀπὸ τῶν τὰ ἅρματα ῥαπτόντων. καὶ γὰρ Αἰγύπτιοι λινοποιοί εἰσι καὶ ἱστίων συρραφεῖς. Προτείνειν] προβάλλεσθαι κοίλην, ἵνα μὴ ἀργύριον ἐξέλθῃ. καὶ γὰρ σφίγξις τῆς χειρὸς τὸ διδόμενον καὶ προσεχόμενον φυλάττει. Χάρισαι.] δῶσόν τι μοὶ χαριζόμενος. Κροκωτοῖς.] κρόκωτος εἶδος χιτῶνος καὶ ἐνδύματος ἐγκυκλίου. Μίτραις] μίτρα διάδημα ἢ ζώνη. ταῦτα δὲ εἴδη ἐσθήτων ἐστὶν ἁρμόττοντα ταῖς γυναιξὶν οὐ τοῖς ἀνδράσι. Γέλωτα παρέχω] γελοῖος ὦ. Ἑστιῶν] τὴν βορὰν παρέχων. Δῆλος ᾖς.] καὶ γὰρ αὕτη ἦν γνώμη παλαιῶν ἐν ταῖς τιμωρίαις, τὸ δεῖν τιμωρήσασθαι τὸν ἀδικόν τι πράξαντα, οὐ διὰ τὸ πρᾶγμα καὶ ἀδίκημα ποιηθὲν, ὅπερ ἐστὶν ἀνίατον, ἀλλὰ ἐπὶ τῷ ἐκπλῆξαι τοὺς ἄλλους, ἵνα μὴ τοιοῦτόν τι ἁμαρτάνωσι, ὥς φησιν ὁ Πλάτων ἐν νόμοις. Ἰαππαπαιάξ] σχετλιαστικὸν ἐπίρρημα. Κροκῶθ.] γυναικεῖον ἔνδυμα. Οὐκ ἔστιν ἐλπίς] ἀνέλπιστος δή ἐστιν ἡ σωτηρία.

Bis. Ὅδ' ἔσθ' ὁ πανοῦργος] ὁ Πρύτανις ὑπὸ Κλεισθένους κληθεὶς ἔρχεται, καὶ τὸν Μνησίλοχον ἐν σανίδι δεσμευθέντα φυλάττεσθαι κελεύει. G Πρύτανις δὲ, διοικητής. προστάτης. φύλαξ. βασιλεύς. ἄρχων. ταμίας. ἔξαρχος. Σ. κύπτεις δὲ, κάμπτεις, ἑαυτὸν κλίνεις. Ἡσύχ. Ἐν τῇ σανίδι.] σανὶς, οἱονεὶ τανὶς, παρὰ τὸ τετάσθαι. ἐπιμηκὲς ξύλον. νῦν δὲ κυρίως σανὶς λέγεται ἐν ᾗ τοὺς κακούργους δεθέντας ἐφύλαττον. καὶ ἐν ᾗ τὰς δίκας ἐχάραττον. Εὐς.